Δανιηλ ἐν τῇ καρδίᾳ ὅπως μὴ ἀλισγηθῇ ἐν τῷ δείπνῳ τοῦ βασι- 𝔊
λέως καὶ ἐν ᾧ πίνει οἴνῳ, καὶ ἠξίωσε τὸν ἀρχιευνοῦχον ἵνα μὴ
9 συμμολυνθῇ. [9]καὶ ἔδωκε κύριος τῷ Δανιηλ τιμὴν καὶ χάριν ἐναν-
10 τίον τοῦ ἀρχιευνούχου. [10]καὶ εἶπεν ὁ ἀρχιευνοῦχος τῷ Δανιηλ
Ἀγωνιῶ τὸν κύριόν μου τὸν βασιλέα τὸν ἐκτάξαντα τὴν βρῶσιν
ὑμῶν καὶ τὴν πόσιν ὑμῶν ἵνα μὴ ἴδῃ τὰ πρόσωπα ὑμῶν διατε-
τραμμένα καὶ ἀσθενῆ παρὰ τοὺς συντρεφομένους ὑμῖν νεανίας
11 τῶν ἀλλογενῶν, καὶ κινδυνεύσω τῷ ἰδίῳ τραχήλῳ. [11]καὶ εἶπεν
Δανιηλ Αβιεσδρι τῷ ἀναδειχθέντι ἀρχιευνούχῳ ἐπὶ τὸν Δανιηλ,
12 Ανανιαν, Μισαηλ, Αζαριαν [12]Πείρασον δὴ τοὺς παῖδάς σου ἐφ᾽
ἡμέρας δέκα, καὶ δοθήτω ἡμῖν ἀπὸ τῶν ὀσπρίων τῆς γῆς, ὥστε
13 κάπτειν καὶ ὑδροποτεῖν· [13]καὶ ἐὰν φανῇ ἡ ὄψις ἡμῶν διατετραμ-
μένη παρὰ τοὺς ἄλλους νεανίσκους τοὺς ἐσθίοντας ἀπὸ τοῦ βασι-
14 λικοῦ δείπνου, καθὼς ἐὰν θέλῃς οὕτω χρῆσαι τοῖς παισί σου. [14]καὶ
ἐχρήσατο αὐτοῖς τὸν τρόπον τοῦτον καὶ ἐπείρασεν αὐτοὺς ἡμέρας
15 δέκα. [15]μετὰ δὲ τὰς δέκα ἡμέρας ἐφάνη ἡ ὄψις αὐτῶν καλὴ καὶ
ἡ ἕξις τοῦ σώματος κρείσσων τῶν ἄλλων νεανίσκων τῶν ἐσθι-

10 των αλλογενων > Sy

---

οὐ μὴ ἀλισγηθῇ ἐν τῇ τραπέζῃ τοῦ βασιλέως καὶ ἐν τῷ οἴνῳ τοῦ θ′
πότου αὐτοῦ, καὶ ἠξίωσε τὸν ἀρχιευνοῦχον ὡς οὐ μὴ ἀλισγηθῇ.
9 [9]καὶ ἔδωκεν ὁ θεὸς τὸν Δανιηλ εἰς ἔλεον καὶ εἰς οἰκτιρμὸν ἐν-
10 ώπιον τοῦ ἀρχιευνούχου. [10]καὶ εἶπεν ὁ ἀρχιευνοῦχος τῷ Δανιηλ
Φοβοῦμαι ἐγὼ τὸν κύριόν μου τὸν βασιλέα τὸν ἐκτάξαντα τὴν
βρῶσιν ὑμῶν καὶ τὴν πόσιν ὑμῶν μήποτε ἴδῃ τὰ πρόσωπα ὑμῶν
σκυθρωπὰ παρὰ τὰ παιδάρια τὰ συνήλικα ὑμῶν καὶ καταδικάσητε
11 τὴν κεφαλήν μου τῷ βασιλεῖ. [11]καὶ εἶπεν Δανιηλ πρὸς Αμελσαδ,
ὃν κατέστησεν ὁ ἀρχιευνοῦχος ἐπὶ Δανιηλ, Ανανιαν, Μισαηλ, Αζα-
12 ριαν [12]Πείρασον δὴ τοὺς παῖδάς σου ἡμέρας δέκα, καὶ δότωσαν
13 ἡμῖν ἀπὸ τῶν σπερμάτων, καὶ φαγόμεθα καὶ ὕδωρ πιόμεθα· [13]καὶ
ὀφθήτωσαν ἐνώπιόν σου αἱ ἰδέαι ἡμῶν καὶ αἱ ἰδέαι τῶν παιδα-
ρίων τῶν ἐσθιόντων τὴν τράπεζαν τοῦ βασιλέως, καὶ καθὼς ἂν
14 ἴδῃς ποίησον μετὰ τῶν παίδων σου. [14]καὶ εἰσήκουσεν αὐτῶν καὶ
15 ἐπείρασεν αὐτοὺς ἡμέρας δέκα. [15]καὶ μετὰ τὸ τέλος τῶν δέκα ἡμε-
ρῶν ὡράθησαν αἱ ἰδέαι αὐτῶν ἀγαθαὶ καὶ ἰσχυραὶ ταῖς σαρξὶν

9 εις 2⁰ > B || 10 συνηλικ(ε)ια *ACp*† || 11 αμελσαδ] αμερσαρ A†, αμελλασαρ *L*, αμελσαρ pau.: item in 16 | αναν. et μισ. et αζαρ.] pr. και A: cf. 19 || 12 σπερματων] + της γης A || 13 εσθιοντων] ι > B†: cf. 15 | παιδων] παιδαριων A† || 15 ισχυραι] -ροι B*A†, αυτοι ισχυροι *L*